www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ & ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΜΑΝΤΑ, ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ & ΜΥΡΟΒΛΥΤΗΝ

**(οὗ ἡ μνήμη τῇ 2ᾳ Σεπτεμβρίου)**



Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

*** ͵βιζ΄ * 2017 ***

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΜΑΜΑΝΤΑ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ'. Ὁ ὑψωθείς.*

Μαρτύρων θείων δεσμογέννητον τέκνον,
τὴν γονικὴν ἐκληρονόμησας χάριν,
μεγαλομάρτυς Μάμα ἔνδοξε Χριστοῦ ἀναδειχθείς·
ὅθεν πρὸς τὸν Κύριον,
παῤῥησίαν πλουτήσας,
μνήσθητι τῶν ὅσοι σου,
τὰς εὐχὰς ἐκζητοῦμεν,
ἐξαπαλλάττων πάντων τῶν παθῶν,
ψυχῶν σωμάτων,
ταχείαις πρεσβείαις σου.

*Δόξα Πατρί, ὅμοιον.*

Τὴν σὲ τιμῶσαν Μεγαλόνησον Κύπρον,
καὶ Θεομόρφου τὴν φιλάγιον πόλιν,
ὦ Μάρτυς Μάμα σκέπασον,
ἐχθροῦ ἐπιβολῶν,
καὶ ταχεῖαν δώρησαι,
τῆς δουλείας τὴν θραῦσιν,
ὥσπερ χοῦν πρεσβείαις σου
ἐκδιώκων τοὺς γόνους,

www.tezaurliturgic.ro


σκοτεινομόρφου Ἄγαρ δυσσεβοῦς,
ἵν’ εὐγνωμόνως,
τιμῶμεν τὴν μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο,
ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
*«Τῶν σὲ τιμώντων πλήρωσον δεήσεις, Μάμα. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Τιμώντων σε πλήρου Μάμα εὐχάς, καὶ δίδου ἑκάστῳ, τὰ συμφέροντα ταῖς ψυχαῖς, πρεσβεύων Κυρίῳ φιλανθρώπῳ, Οὗ ἀθλοφόρος ἐδείχθης ἀήττητος.

Ὡς τέκνον μαρτύρων Μάμα Χριστοῦ, διπλῆν παῤῥησίαν κατεπλούτησας παρ' Αὐτῷ, διὸ μαρτυρούντων συνειδήσει, μέγας προστάτης γενοῦ καὶ ὑπέρμαχος.

Ναὸν τοῦ Κυρίου πεποιηκώς, σαὐτὸν θεῖε Μάμα, καταξίωσον καὶ ἡμᾶς, φανῆναι σκηνώματα Δεσπότου, ἐν οἷς οἰκήσει τὸ Πνεῦμα τὸ Ἅγιον.

*Θεοτοκίον*

Σὺν Μάμαντι θείῳ Μῆτερ Θεοῦ, τὴν νῆσον τῆς Κύπρου, τὴν τιμῶσαν ἄμφω πιστῶς, τηρεῖτε ἀεὶ πανελευθέραν, καὶ τὴν ὀρθόδοξον πίστιν φυλάττουσαν.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἐχαρίσθη σοι Μάμα, ἀπὸ Θεοῦ δύναμις, τοῦ θαυματουργεῖν παραδόξως, σημεῖα μέγιστα, ὅθεν αἰτούμεθα, ὡς ἔχοντές σε προστάτην, εἰσβολεῖς ἐκδίωξον, τῆς Κύπρου τάχιστα.

Τῶν μαρτύρων γονέων, ἀμφιλαφῶς εἴληφας, χάριν θεοσφράγιστε Μάμα, διὸ πεπλήρωσαι, Ἁγίου Πνεύματος,

οὗ ἀναδείξαις μετόχους, πάντας τοὺς τιμῶντάς σου, ἆθλα καὶ θαύματα.

Ἱερώτατον θῦμα, καὶ λογικὸν σφάγιον, ἀπὸ τῶν σπαργάνων σου Μάμα, Κυρίῳ δέδοσαι, καὶ καθυπέταξας, σαὐτὸν τῷ πάντων Δεσπότῃ, Ὃν ὑπὲρ τῶν δούλων σου, πρέσβευε πάντοτε.

*Θεοτοκίον*

Μὴ παρίδῃς τῆς Κύπρου, τοὺς στεναγμοὺς Πάναγνε, ἧς τὰς ἱεράς σου εἰκόνας, καὶ τὰ σεβάσματα, καταμολύνουσιν, οἱ ἀσεβεῖς γόνοι Ἄγαρ, οὓς θείαις πρεσβείαις σου, ὡς νέφη δίωξον.

Διάσωσον, τοὺς σὲ τιμῶντας ἐκ πόθου Μάμα τρισμάκαρ, ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἀλάστορος, καὶ δὸς συμφέρουσαν ψυχαῖς, αἰτημάτων ἡμῶν τὴν λύσιν. Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Θηρία παθῶν,
ψυχῶν ἡμῶν ἐκδίωξον,
καὶ φόβον Θεοῦ,
ἐγκαίνισον σωτήριον,
ὅπως Μάμα πάντοτε,
τὴν σὴν μνήμην δοξάζωμεν,
οἱ φιλομάρτυρες πιστοί,
εὐγνωμοσύνης θείοις ᾄσμασι.

## *Ὠιδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Ὡς μαρτύρων ἐκβλάστημα, εἴληφας τὴν χάριν διπλῆν τοῦ Πνεύματος, ἧς μετόχους Μάμα ποίησον, τοὺς ἀνευφημοῦντας τοὺς ἀγῶνάς σου.

Νουνεχῶς καθωδήγησας, Μάμα συνηλίκους σου εἰς ἐπίγνωσιν, τοῦ Κυρίου Ὃν ἀξίωσον, καὶ ἡμᾶς γινώσκειν καθαρώτερον.

Τῶν εἰδώλων διήλεγξας, Μάμα τὴν δυσσέβειαν ἐμφορούμενος, τοῦ Δεσπότου θείῳ ἔρωτι, οὗ περ πλῆσον πάντας τοὺς τιμῶντάς σε.

### *Θεοτοκίον*

Ὥσπερ ὄρνιθος πτέρυξιν, νεοσσοὶ Παρθένε ἐκδιασῴζονται, ἁρπαγῆς κακοῦ ἱέρακος, οὕτως καὶ ἡμεῖς σοὶ καταφεύγομεν.

## *Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Νέους πρὸς Χριστὸν, Μάμα θεῖε νυμφαγώγησον, καθάπερ πάλαι νέων γέγονας, πρὸς τὸν Δεσπότην, ὁδηγὸς φιλοψυχότατος.

Παῦσον τὰς ὁρμάς, τῆς σαρκὸς Μάμα μακάριε, τῶν αἰτουμένων σὴν βοήθειαν, ὅπως τοὺς θῆρας, ἡδονῶν καθυποτάσσωμεν.

Λόγον τοῦ Θεοῦ, καὶ Σωτῆρα καθικέτευε, ὅπως παθῶν ψυχῆς τὰ εἴδωλα, Μάμα θεόφρον, ὥσπερ σὺ κατασυντρίψωμεν.

*Θεοτοκίον*

Ἤδη ὁ καιρὸς, τῆς ζωῆς ἡμῶν συντέτμηται, καὶ τοῦ θανάτου ἡ ἡμέρα ἤγγικεν, ὅθεν Παρθένε, ἡμῖν χάρισαι μετάνοιαν.

*Ὠιδὴ ϛ'. Τὴν δέησιν.*

Ῥημάτων σου, ἡ σοφία ἅγιε, κατετρόπωσε τυράννων τοὺς λήρους, ὁ γὰρ Χριστός, Ὃν ἐν στέρνοις σου ἔσχες, Αὐτὸς ὡμίλει ὡς μέγας συνήγορος, ἡμεῖς δὲ Μάμα πρὸς Αὐτόν, σὲ μεσίτην εὐχῶν προβαλλόμεθα.

Ὡράϊσαι, καὶ πυρὶ φλεγόμενος, καὶ τυπτόμενος χριστόψυχε Μάμα, μὴ ὑπενδούς, τοῖς ξοάνοις λατρεῦσαι, καὶ χωρισθῆναι ἀγάπης Δεσπότου σου, Ὧι πρέσβευε διηνεκῶς, ὑπὲρ ὅσοι σοὺς ἄθλους θαυμάζομεν.

Σταυρώσας σου, πᾶν ψυχῆς ἐννόημα, τῷ Χριστῷ καὶ μόνον Μάμα συνέζης, ὅθεν ὡς χοῦν, θεωρῶν ὑποσχέσεις, τῶν ἀσεβῶν μαρτυρίοις ἐβέβλησο, καὶ γέγονας Χριστιανῶν, τῶν τιμώντων σε θεῖος ὑπέρμαχος.

*Θεοτοκίον*

Οὐκ ἔχομεν, πλήν σου ἄλλην Δέσποινα, ἐν ταῖς θλίψεσι τοῦ βίου ἐλπίδα, διὸ πιστῶς, σὰς εἰκόνας τιμῶμεν, ἐξ ὧν

τοῦ Πνεύματος χάριτες δίδονται, καὶ οὕτω πάσης συμφορᾶς, αἱ πικραὶ ἐμπειρίαι γλυκαίνονται.

Διάσωσον, τοὺς σὲ τιμῶντας ἐκ πόθου Μάμα τρισμάκαρ, ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἀλάστορος, καὶ δὸς συμφέρουσαν ψυχαῖς, αἰτημάτων ἡμῶν τὴν λύσιν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Θεομόρφου ὦ Μάμα προστάτα χριστόδοτε,
καὶ τῆς Κύπρου μεσῖτα πρὸς Θεὸν ἀκαταίσχυντε,
τὰς δεήσεις,
καὶ ἱκεσίας δέξαι εὐμενῶς,
καὶ δὸς πλήρωσιν αὐτῶν,
ἀποδιώκων ὥσπερ χοῦν,
εἰσβολεῖς τοὺς
ἀλάστορας·
Ὅπως σὴν θείαν μνήμην,
αὖθις ἐπιτελῶμεν,
ἐν τῷ πανσέπτῳ σου ναῷ,
καὶ δοξάζωμεν τὸν Κύριον.

Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχος. *Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.*

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Λουκᾶν*

*(κα΄ 12 - 19)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ἐπιβαλοῦσι γὰρ ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι. Ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ φίλων καὶ θανατώσουσιν ἐξ ὑμῶν καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν, κτήσασθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα Πατρί.*

Μάμαντος τοῦ θείου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Μάμα θεοδόξαστε,
προστάτα Κύπρου ἁπάσης,
σὲ πρὸς τὸν Φιλάνθρωπον,
πρέσβυν προβαλλόμεθα οἱ τιμῶντές σε.
Αἴτει χριστοστέφανε,
τὴν ἐλευθερίαν,
τοῦ ἐν Μόρφου σου σκηνώματος,
καὶ τὴν ἐκδίωξιν,
ἀπογόνων Ἄγαρ ὡς τάχιστα.
Ἡμῶν δὲ αὔξει Ἅγιε,
τὴν πρὸς τὸν Δεσπότην ἀγάπησιν,
ὅπως εὐαρέστως,
βιώσωμεν ἐν θείαις ἀρεταῖς,
καὶ Βασιλείας γενώμεθα,
οὐρανίου μέτοχοι.

*Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Νεανίου τῇ ὄψει, ὁ Κυρίου σε ἄγγελος διεσώσατο, ἐκ τοῦ πνιγμοῦ θαλάσσης, διδάσκων θεῖε Μάμα, πατρικὴν Αὐτοῦ πρόνοιαν, δι' ἧς ἁγίαις σου εὐχαῖς, τοὺς σὲ τιμῶντας σῴσοι.

Διὰ ῥάβδου δοθείσης, οὐρανόθεν σοι θῆρας Μάμα ἐποίμανας, καὶ γάλακτος ἀμέλξει, τυροὺς κατασκευάσας, τοῖς πτωχοῖς μεταδέδωκας, ἡμῶν δὲ θρέψον ψυχάς, δεόμενος Κυρίου.

Ἐν γλυκέσι σου τρόποις, στρατιώτας σταλέντας Χριστῷ συνήρμοσας, καὶ λέοντα ὡς ὄνῳ, χρησάμενος ὦ Μάμα, εἰς Καισάρειαν ἔφθασας, ἡμῶν δὲ λέοντας παθῶν, ἐξάλειψον εὐχαῖς σου.

*Θεοτοκίον*

Ἡγίασας τὴν Κύπρον, τῇ πληθύϊ εἰκόνων σου Παναμώμητε, ἃς πίστει προσκυνοῦντες, αἰτούμεθα τὴν χάριν, τῆς μητρώας ἀγάπης σου, ὅπως ὡς θέλει Θεός, τελέσωμεν τὸν βίον.

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

Σαρκὸς τὴν ξέσιν, καὶ τὴν φλόγα καμίνου, ὑπὲρ φύσιν ὑπέστης θεῖε Μάμα, τοῖς πιστοῖς διδάσκων, τὰς θλίψεις ὑπομένειν.

Ἐν τῷ σταδίῳ, ᾐδέσθησάν σε οἱ θῆρες, καὶ ὁ λέων, φωνῇ ἐδόξασέ σε, ὅθεν καὶ πιστοί σε, ἀνευφημοῦμεν Μάμα.

Ἱκετηρίαν, πρὸς τὸν Θεὸν ποίει Μάμα, ἰατρεῦσαι ψυχῶν τε καὶ σωμάτων, πάθη ἀνυμνούντων, τὴν θείαν ἄθλησίν σου.

*Θεοτοκίον*

Σκέπε τὴν Κύπρον, ὀρθοδοξοῦσαν Παρθένε, καὶ ἐκ πάσης κακίας διαβόλου, τήρει ἀνυμνοῦσαν, σὴν μητρικὴν ἀγάπην.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Μάμα μεγαλομάρτυς, ὕψωσον σὴν ῥάβδον, καὶ εἰσβολεῖς ἐκ τῆς Κύπρου ἐκδίωξον, καὶ τὸν ναόν σου ἐν Μόρφου, ἀπελευθέρωσον.

Ἀθλήσας ὑπέρ φύσιν, τέλος ἐν τριαίνῃ, πρὸς τὸν Δεσπότην ὦ Μάμα ἐλήλυθας, Ὃν ὑπὲρ Κύπρου ἐξαίτει, πάντα τὰ κρείττονα.

Μεγάλως σε δοξάσας, Μάμα ὁ Δεσπότης, τῶν ἰαμάτων τὴν χάριν σοι δέδωκε, ἅπερ μετάδος τοῖς πόθῳ, ἀνευφημοῦσί σε.

Ἀνεξαντλήτως Μάμα, Πνεύματος ἡ χάρις, ἐπιφοιτᾷ τοῖς τιμίοις λειψάνοις σου, ἃ προσκυνοῦντες ἐν πίστει, ἁγιαζόμεθα.

*Θεοτοκίον*

Ἄχραντε Θεοτόκε, σὺν Ἁγίοις πᾶσι, καὶ μυροβλύτῃ κλεινῷ θείῳ Μάμαντι, ὑπὲρ τῆς Κύπρου Δεσπότην, καθικετεύσατε.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*Μεγαλυνάριον* (*παλαιόν*)

Τέθηλας ἐκ ῥίζης θεοφιλοῦς, καὶ τῆς ἀληθείας, ἐγεώργησας τοὺς καρπούς, σὺ διὰ πυρὸς γάρ, καὶ ὕδατος διῆλθες, ἐκλάμπων ἐν τοῖς ἄθλοις, Μάμα τοῖς θαύμασι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## *ἕτερα νεοσύνθετα*

Χαίροις θεῖον ζεῦγος μαρτυρικόν, Θεόδοτε μάκαρ καὶ Ῥουφῖνα θεοφιλής, οἱ τεκόντες Μάμαν, τὸν ἀθλητὴν Κυρίου, μεθ' οὗ ἐν Παραδείσῳ, νῦν συνευφραίνεσθε.

Χαίροις Μάμα θεῖε μάρτυς Χριστοῦ, γέννημα μαρτύρων καὶ τῶν ἄθλων συνεχιστά, χαίροις ὁ ἀγγέλων τὰ τάγματα ἐκπλήξας, τῇ ὑπὲρ πᾶσαν λόγον, ἐγκαρτερήσει σου.

Μάμα Θεομόρφου προασπιστά, καὶ τῆς Κύπρου πάσης, πρέσβυς μέγας πρὸς τὸν Θεόν, τὸν αἰχμαλωσίᾳ ναὸν τὸν θαυμαστόν σου, ἀγαρηνῶν ταχέως, δεῖξον ἐλεύθερον.

Πάθη ἐμφωλεύοντα ταῖς ψυχαῖς, ἡμέρωσον Μάμα, ὥσπερ θῆρας πάλαι ποτέ, Χριστοῦ τῇ δυνάμει, ἣν εἴληφας ὡς δῶρον, ἀντὶ τῶν μαρτυρίων, ἅπερ ὑπέμεινας.

Ὕψωσον τὰς χεῖράς σου πρὸς Θεόν, μυροβλῦτα Μάμα, καὶ ἐξαίτει τὴν παρ' Αὐτοῦ, ἄσειστον εἰρήνην, ἐπὶ τὴν νῆσον Κύπρου, τὴν πόθῳ ἀνυμνοῦσαν, τὴν θείαν μνήμην σου.

Ἴασιν παράσχου Μάμα κλεινέ, τοῖς ἐν ἀσθενείαις, ἐκζητοῦσι τὰς σὰς εὐχάς, καὶ ἀσπαζομένοις τὰ θεῖα λείψανά σου, ἐξ ὧν πηγάζει χάρις, Ἁγίου Πνεύματος.

Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. καὶ τὰ τροπάρια*

www.tezaurliturgic.ro


Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὰ ἀκόλουθα προσόμοια.*
*Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.*

Μάμα μυροβλῦτα θαυμαστέ, δέξαι τὰς ἡμῶν ἱκεσίας καὶ τὰ αἰτήματα, καὶ αὐτὰ προσάγαγε, τῷ Φιλανθρώπῳ Χριστῷ,
ἰατρεῦσαι τοὺς πάσχοντας, στηρίξαι πεσόντας, καὶ πταισμάτων ἄφεσιν, πολλῶν ἡμῖν παρασχεῖν, τῆς δὲ Βασιλείας μετόχους, δείξῃ πάντας τοὺς ὅσοι, τὴν ἁγίαν μνήμην σου δοξάζωμεν.

Μάμα πάσης Κύπρου βοηθέ, καὶ τῆς Θεομόρφου προστάτα, σεπτὴν εἰκόνα σου, πόθῳ ἀσπαζόμενοι, ἐκ βάθους κράζομεν· ἐλευθέρωσον τάχιστα, τὸν θεῖον ναόν σου, καὶ τὴν Νῆσον ἅπασαν, ἀγαρηνῶν ἀσεβῶν, ὅπως εὐγνωμόνως τελῶμεν, πάντοτε τὴν θείαν σου μνήμην, τὴν σεπτὴν Τριάδα μεγαλύνοντες.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

*Στίχοι*

*Ἐλευθέρωσον ταχὺ σὴν Μόρφου, Μάμα,*
*Καὶ ψυχὰς ἡμῶν πολυμόρφου δουλείας.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ